www.tezaurliturgic.ro

**Ἀρχιμανδρίτου**
**ΦΙΛΑΡΕΤΟΥ ΑΠ. ΒΙΤΑΛΗ**
**Θεολόγου - Ἱεροκήρυκος - Συγγραφέως**

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΕΙΣ ΤΟΝ ΟΣΙΟΝ ΜΑΞΙΜΟΝ

*Τὸν ἐξ Ἄρτης Φωτιστὴν τῶν Ῥώσων*
*καὶ Ὁμολογητὴν τῆς Ὀρθοδοξίας*



*Ὁ Ἱερεύς: Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.*

*Ὁ ἀναγνώστης:* Ἀμήν.

Ψαλμὸς ΡΜΒ' (142)

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ διακαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν. Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου. Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκρούς αἰῶνος καὶ ἠκηδίασεν ἐπ' ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου. Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων. Διεπέτασα πρὸς σὲ τὰς χεῖρας μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι. Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου. Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον. Ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοί ἤλπισα. Γνώρισόν μοι, Κύριε, ὁδόν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς σὲ κατέφυγον˙ δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου. Τὸ πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ˙ ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με. Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου, καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου. Καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σου εἰμί.

Ἦχος δ′.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχος α'. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, καὶ ἐπικαλεῖσθε τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.
Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχος β'. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.
Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχος γ'. Παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.
Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Καὶ εἶτα τὰ παρόντα Τροπάρια.

Ἦχος δ'. Τῇ Θεοτόκῳ ἐκτενῶς.

**Τ**ῶν Μοναζόντων τὰ συστήματα σήμερον, ἐν εὐλαβείᾳ σὺν Πιστοῖς προσεδράμομεν, καὶ τὴν ἁγίαν μνήμην Μαξίμου τοῦ κλεινοῦ, πόθῳ ἑορτάζοντες, ἐκ ψυχῆς καὶ καρδίας, χαίροις, Πάτερ, λέγοντες, τῶν Ἀρταίων ἡ δόξα, Ὀρθοδοξίας ὁ ὑφηγητής, καὶ τῆς Ῥωσίας, φωστὴρ φαεινότατος.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

**Ο**ὐ σιωπήσωμεν ποτὲ Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι· εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τὶς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων; τὶς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν

Δέσποινα ἐκ σοῦ˙ σοὺς γὰρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

## Ψαλμὸς Ν' (50).

Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου. Ἐπὶ πλεῖον πλῦνον με ἀπὸ τῆς ἀνομίας μου, καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με. Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστὶ διὰ παντός. Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε. Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου. Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας˙ τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι. Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι˙ πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι. Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην˙ ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα. Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον. Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμα σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ. Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ Πνεύματι ἡγεμονικῷ στήριξόν με. Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι. Ῥῦσαι με ἐξ αἱμάτων ὁ Θεὸς, ὁ Θεὸς τῆς σωτηρίας μου˙ ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου. Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου. Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν˙ ὁλοκαυτώματα οὐκ εὐδοκήσεις. Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον˙ καρδίαν

συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει. Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιὼν καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ· τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα. Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

***Εἶτα ὁ Κανὼν Μαξίμου, οὗ ἡ ἀκροστιχίς· Μάξιμον αἰνῶ Ἄρτης τὸ κλέος, Φιλάρετος.***

Ὠιδὴ α'. Ἦχος πλ. δ'. Ὑγρὰν διοδεύσας.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

**Μ**αξίμου τὴν εὔσημον ἑορτήν, ἀσμένως τελοῦμεν, οἱ Ὀρθόδοξοι πανδημεί, ἐκ πόθου καὶ χρέους προσελθόντες, ἐν τῷ πανσέπτῳ Ναῷ τοῦ θεόφρονος.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

**Ἀ**ξίως τιμῶμεν γόνον λαμπρόν, τῆς Ἄρτης Ἠπείρου, τὸν ὑπέρμαχον τῆς Χριστοῦ, ἁγίας ἡμῶν Ὀρθοδοξίας, φωτοειδέστατον ὅσιον Μάξιμον.

Δόξα.

**Ξ**ενώσας τοῦ κόσμου τὴν σὴν ζωήν, τοῖς ἴχνεσι Μάκαρ, ἠκολούθησας τοῦ Χριστοῦ· διόπερ εἰς Ἄθω ἀπεσύρθης, τῶν Μοναχῶν ἐνδυθεὶς τὸ τριβώνιον.

Καὶ νῦν. Θεοτοκίον.

**Ἱ**κέτης, ὦ Μάξιμε, εὐλαβής, τῆς Πορταϊτίσσης Θεοτόκου σὺ γεγονώς· ἧς αἴτει καὶ νῦν τὴν μεσιτείαν, πρὸς τὸν Θεὸν ὑπὲρ πάντων τῶν δούλων σου.

Μαξίμου τοῦ νέου. Ὠιδὴ γ'. Οὐρανίας ἁψῖδος.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

**Μ**ελετήσας ἐν Ἄθῳ, τὰ ἱερὰ γράμματα, καὶ ἐνστερνισθεὶς οὐρανόθεν, Μάξιμε ἅγιε, τῇ θείᾳ χάριτι, φιλοσοφίαν τὴν ἄνω, πέφηκας, πανόλβιε, σάλπιγξ τοῦ Πνεύματος.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

**Ὁ** βυθὸς τῶν δακρύων, τοῦ ἱεροῦ πένθους σου, ἐπὶ ταῖς τοῦ κόσμου κακίαις, γέγονεν ὄλεθρος, τοῦ ἀπαισίου σατᾶν˙ οὗ πολεμήτωρ ἐδείχθης, Μάξιμε πανάριστε, ὅθεν τιμῶμέν σε.

Δόξα.

**Ν**εκρωθεὶς κατὰ κόσμον, ἀσκητικῶς Ὅσιε, τῆς ὑπερκοσμίου γαλήνης, Μάξιμε ἔτυχες, εὐαρεστήσας Θεῷ, διὰ σεμνῆς πολιτείας, Ὄρει τῷ Ἁγίῳ σύ, φέγγος ἀπήστραψας.

Καὶ νῦν. Θεοτοκίον.

**Ἀ**νυμνοῦμέν σε Κόρη, χαρμονικῶς σήμερον, ὅτι νόμου φύσεως δίχα, τίκτεις τὸν Κύριον, παρακαλοῦντες θερμῶς, ὅπως αὐτῷ μεσιτεύῃς, ῥύσασθαι τοὺς δούλους σου, ἐκ τῆς κολάσεως.

**Δ**ιάσωσον, τοὺς Ὀρθοδόξους, ὦ Μάξιμε, ἐκ κινδύνων, καὶ τῆς λύμης αἱρετικῶν, καὶ πάντας χαρίτωσον, τελοῦντάς σου τὴν πανίερον μνήμην.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

*Εἶτα μνημονεύει ὁ Ἱερεὺς τῶν πιστῶν, δι' οὓς ἡ Παράκλησις γίνεται· καὶ ἡμεῖς ψάλλομεν τὸ Κύριε ἐλέησον (ιβ'). Μεθ' ὅ ὁ Ἱερεὺς, Ὅτι ἐλεήμων. Καὶ ἡμεῖς ψάλλομεν τὸ,*

Ἦχος β'. Τὰ ἄνω ζητῶν.

Βιώσας καλῶς τὰ δόγματα τῆς Πίστεως, σαλπίσας τρανῶς, ἐδείχθης ὑπερθαύμαστος, τῆς Ῥωσίας, Μάξιμε, φωτιστὴς καὶ μέγας διδάσκαλος, ἐξ οὗ βοῶμέν σοι πάντες θερμῶς· μὴ παύσῃς, φωτίζων τοὺς ὑμνοῦντάς σε.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Πρεσβεία θερμή, καὶ τεῖχος ἀπροσμάχητον, ἐλέους πηγή, τοῦ κόσμου καταφύγιον· ἐκτενῶς βοῶμέν σοι· Θεοτόκε Δέσποινα, πρόφθασον, καὶ ἐκ κινδύνων λύτρωσαι ἡμᾶς, ἡ μόνη ταχέως προστατεύουσα.

Μαξίμου τοῦ νέου. Ὠιδὴ δ'. Εἰσακήκοα Κύριε.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἱερούργησας, Μάξιμε, τῷ Εὐαγγελίῳ Χριστοῦ· καὶ ἔσβεσας, ἀθεΐας τὴν ἀχλύν σοφέ, τοὺς λαοὺς φωτίζων θείῳ Πνεύματι.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

**Ν**εκρωθεὶς ἱερώτατε, ἐν ταῖς ἀγρυπνίαις καὶ ταῖς ἀσκήσεσιν, ἐκ παθῶν ποικίλων· γέγονας, τῆς Τριάδος οἶκος καθαρώτατος.

Δόξα.

**Ὡ**ς κανὼν ἀκριβέστατος, τῆς Ὀρθοδοξίας ὤφθης ἀοίδιμε, τοῦ Χριστοῦ δὲ φίλος γνήσιος, καὶ Ὀρθοδοξίας κήρυξ ἔνθεος.

Καὶ νῦν. Θεοτοκίον.

**Ἀ**πειρόγαμε Δέσποινα, ἡ τὸ φῶς τοῦ κόσμου Χριστὸν κυήσασα, φωταγώγησον τὰ σύμπαντα, ταῖς λιταῖς Μαξίμου τοῦ θεόφρονος.

Μαξίμου τοῦ νέου. Ὠιδὴ ε'. Φώτισον ἡμᾶς.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

**Ῥ**ώμην τῆς ψυχῆς, πόθῳ Μάξιμε ἐνδέδυσαι· καὶ φωτισμὸν ἐφελκύσας Χριστοῦ, φωταγωγεῖς τοὺς πιστῶς προσιόντάς σοι.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

**Τ**ύπος ἀρετῆς ἀνεδείχθης, θεῖε Μάξιμε· καὶ λαμπρυνθεὶς τῷ ἀστέκτῳ φωτί, εἰς τὴν ζωὴν ἀπαθείας προσώρμισας.

Δόξα.

**Ἤ**μβλυναν ἐχθροῦ, τὰ πυρφόρα βέλη, Μάξιμε˙ καὶ τοῦ Χριστοῦ τῇ δυνάμει σοφέ, ἀγωνιστὴς ἀνεδείχθης στεῤῥότατος.

Καὶ νῦν. Θεοτοκίον.

**Σ**ὺ τῶν οὐρανῶν πλατυτέρα ὤφθης, Πάνσεμνε, ὡς τὸν Χριστὸν τῶν ἁπάντων Θεόν, ὑπερφυῶς κυοφορήσασα, Μητρόθεε.

Μαξίμου τοῦ νέου. Ὠιδὴ ς'. Τὴν δέησιν ἐκχεῶ.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

**Τ**ὴν κλῆσιν, ἐκ Θεοῦ δεξάμενος, ἀπεδήμησας εὐθὺς εἰς Ῥωσίαν, πρὸς φωτισμὸν τῶν ἐν σκότει θανάτου, καὶ ἀγνωσίας κειμένων θεόληπτε˙ ἔρωτι θείῳ πτερωθείς, ἰσαπόστολος πέφηνας, Μάξιμε.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

**Ὁ**λόφωτος, ἐν ψυχῇ καὶ σώματι, καὶ τῇ αἴγλῃ λαμπρυνόμενος, Πάτερ, τῆς Τρισηλίου Θεότητος μύστης, τοῖς ὀρθοδόξοις σου ὤφθης διδάγμασιν, ὡς φαεινότατος ἀστήρ, ἐσαεὶ διαλάμπεις, θαυμάσιε.

Δόξα.

**Κ**αθεῖλες γὰρ τὴν ὀφρὺν αἱρέσεων, καὶ τὸν δράκοντα συνέτριψας Μάκαρ, ἐπιδειξάμενος, Μάξιμε, ζῆλον, καὶ θεωρίας τὴν πρᾶξιν ἐπίβασιν˙ Χριστοῦ τῇ χάριτι σοφέ, τὰς ἐφόδους λεόντων ἀπήλασας.

Καὶ νῦν. Θεοτοκίον.

**Λ**αμπὰς φωτός, Θεοτόκε, ἄσβεστος, ὡς ὑπάρχεις τοῖς ἐν σκότει βιοῦσι· παρακαλοῦμεν καὶ νῦν μετανοίᾳ, φωτοφανεῖς σὺ τοὺς πάντας κατάστησον· σὲ γὰρ Μητέρα τοῦ Φωτός, μεγαλύνομεν πίστει, Πανάχραντε.

**Δ**ιάσωσον, τοὺς Ὀρθοδόξους, ὦ Μάξιμε, ἐκ κινδύνων, καὶ τῆς λύμης αἱρετικῶν, καὶ πάντας χαρίτωσον τελοῦντάς σου τὴν πανίερον μνήμην.

**Ἄ**χραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως ἐπ' ἐσχάτων τῶν ἡμερῶν, τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παρρησίαν.

***Ὁ Ἱερεὺς μνημονεύει, ὡς δεδήλωται. Καὶ μετὰ τὴν ἐκφώνησιν ψάλλομεν τὸ παρόν,***

Κοντάκιον. Ἦχος δ'. Προστασία τῶν Χριστιανῶν.

**Ε**ὐσεβείας τῶν Χριστανῶν ὁ ὑπέρμαχος, ἀρετῶν τοῦ Εὐαγγελίου ὑποτύπωσις, ὄντως ὤφθης, τῇ οἰκουμένῃ, Μάξιμε σοφέ· διὸ μέλπουσιν οἱ εὐσεβεῖς, τὸν ἔπαινόν σου ἐς ἀεί, ἱερῶς ἀνακράζοντες· χαίροις τῶν Μοναζόντων, τὸ κλέος καὶ εὐκοσμία· χαίροις τῶν Ὁμολογητῶν Χριστοῦ, ὁ ἀείφωτος.

***Καὶ εὐθὺς τὸ Προκείμενον·***

**Μ**ακάριος ἀνήρ, ὁ φοβούμενος τὸν Κύριον. (δις)

Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

**Μ**ακάριος ἀνήρ…

## Ε ὐ α γ γ έ λ ι ο ν
## (Λουκ. ιβ'8)

**Ε**ἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς˙ Πᾶς ὅς ἄν ὁμολογήσῃ ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου ὁμολογήσει ἐν αὐτῷ ἔμπροσθεν τῶν ἀγγέλων τοῦ Θεοῦ˙ ὁ δὲ ἀρνησάμενός με ἐνώπιον τῶν ἀνθρώπων ἀπαρνηθήσεται ἐνώπιον τῶν ἀγγέλων τοῦ Θεοῦ. Καὶ πᾶς ὅς ἐρεῖ λόγον εἰς τὸν υἱὸν τοῦ ἀνθρώπου, ἀφεθήσεται αὐτῷ˙ τῷ δὲ εἰς τὸ Ἅγιον Πνεῦμα βλασφημήσαντι οὐκ ἀφεθήσεται. Ὅταν δὲ προσφέρωσιν ὑμᾶς ἐπὶ τὰς συναγωγὰς καὶ τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας, μὴ μεριμνᾶτε πῶς ἢ τι ἀπολογήσησθε, ἢ τι εἴπητε˙ τὸ γὰρ Ἅγιον Πνεῦμα διδάξει ὑμᾶς ἐν αὐτῇ τῇ ὥρᾳ ἅ δεῖ εἰπεῖν.

Ὁ Χορός˙ Δόξα σοι Κύριε˙ δόξα σοι.

Δόξα Πατρί. Ἦχος β'.

**Τ**αῖς τοῦ θεοφόρου, Μαξίμου ἱκεσίαις, διάσωσον Χριστέ μου, ποίμνην σου τὴν ἁγίαν.

Καὶ νῦν...

**Τ**αῖς τῆς Θεοτόκου, πρεσβείαις, ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

***Εἶτα τὸν ἑξῆς στίχον, σὺν τῷ τροπαρίῳ,***

**Ἐ**λέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου, ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἦχος πλ. β'. Ὅλην ἀποθέμενοι.

Δεῦτε τὸν Θεὸσοφον, καὶ ζηλωτὴν τοῦ Κυρίου, Μάξιμον πανάριστον, Μοναχῶν τοῦ Ἄθωνος ἀκροθίνιον, τῶν πιστῶν πρόμαχον, Ἐκκλησίας ῥύστην, ἐν Ῥωσίᾳ ὡς φωτίσαντα, λαὸν ἐν χάριτι, τῆς Ὀρθοδοξίας τοῖς νάμασι, θερμῶς παρακαλέσωμεν, ὅπως καὶ ἡμᾶς διασώσῃ νῦν, ἐκ πλείστων κινδύνων, παρέχων καὶ ἡμῖν τὸν φωτισμὸν, τοῦ στηριχθῆναι τοὺς Ἕλληνας, τοῖς πατρῴοις δόγμασιν.

*Μεθ' ὅ ὁ Ἱερεὺς, τὸ Σῶσον ὁ Θεὸς τὸν λαόν σου, καὶ μετὰ τὸ Κύριε ἐλέησον, καὶ τὴν ἐκφώνησιν, Ἐλέει καὶ οἰκτιρμοῖς, ἡμεῖς ψάλλομεν,*

Μαξίμου τοῦ νέου. Ὠιδὴ ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἐπτέρωσας τὸν νοῦν σου, πρὸς τὸν Κύριον, Μάξιμε, ὅν ἠγάπησας, ἐξ ὅλης τῆς ψυχῆς σου˙ ταῖς θείαις ἀρεταῖς σου, τοὺς ἐν σκότει ἐφώτισας, καὶ πρὸς αὐτὸν ἀσφαλῶς, ὡδήγησας θεόφρον.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὁ τῶν πεπλανημένων ὁδηγὸς ἀκριβέστατος, Πάτερ, γέγονας, καὶ τῆς Ὀρθοδοξίας, ἐν πάσῃ τῇ Ῥωσίᾳ, ὡς φωστὴρ ἀνατέταλκας˙ διέσωσας δὲ λαούς, ἐκ σκότους θεηγόρε.

Δόξα.

Σοφίαν τὴν ἐξ ὕψους, μεταδοὺς δαψιλῶς τοῖς ἐν σοὶ προστρέχουσι, παθῶν τὰς ἀλογίας, αὐτοὺς σὺ

ἀπαλλάξας, τῷ Κυρίῳ ὡδήγησας, ὡς εὐωδίαν Χριστοῦ, καὶ Πνεύματος δοχεῖα.

Καὶ νῦν. Θεοτοκίον.

**Φ**υλάττουσα μὴ παύσῃς, Θεοτόκε Παρθένε, τοὺς σὲ δοξάζοντας, παρέχουσα ἰάσεις, καὶ θείαν προστασίαν, τῷ Υἱῷ σου πρεσβεύουσα, ὅπως ἐν πίστει ὀρθῇ, ἀεὶ διατελῶσιν.

Μαξίμου τοῦ νέου. Ὠιδὴ η'. Τὸν Βασιλέα, τῶν οὐρανῶν.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

**Ἴ**θυνας Πάτερ, σαῖς φανοτάταις ἀκτῖσι, τὴν ζωὴν τῆς Ῥωσίας ἁπάσης, ἐκ τῆς ἀχλυώδους λύμης αὐτὴν λυτρώσας.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

**Λ**αὸν προσῆξας, τῇ Ὀρθοδόξῳ λατρείᾳ, σοῖς πυρσεύμασι, Μάξιμε μάκαρ˙ ὅθεν σε γεραίρει, ὡς Ἅγιον τιμῶσα.

Δόξα.

**Ἀ**γῶνας ἔσχες, πολυετεῖς θεοκήρυξ, καὶ κινδύνους ὑπήνεγκας πλείστους, ἐν τῇ ἐνασκήσει, τῆς σῆς διακονίας.

Καὶ νῦν. Θεοτοκίον.

**Ῥ**ομφαία Μῆτερ, τὴν σὴν καρδίαν διῆλθεν, ἐν Σταυρῷ τὸν Υἱόν σου ὡς εἶδες˙ οὗ τῇ ἀναστάσει, Θεόνυμφε εὐφράνθης.

Μαξίμου τοῦ νέου. Ὠιδὴ θ'. Κυρίως Θεοτόκον.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

**Ἐ**ν βήματι τυράννων, κρινόμενος ἀδίκως, ὑπὲρ τῆς Πίστεως, Μάξιμε, ἔλεγες, ἄχρι θανάτου ὀρθόδοξος ἔσομαι.

Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

**Τ**ὰς θλίψεις καὶ διώξεις, ἐχθρῶν σου κακοδόξων, καρτερικώτατα, Μάξιμε, ἤνεγκας˙ τὸ ἀπηνὲς τῶν βασάνων, Πάτερ, κατῄσχυνας.

Δόξα.

**Ὁ**δὸν ἀρίστην ὄντως, διήνυσας ἀνδρείως, ἐκ τῆς εἱρκτῆς σου πρὸς Κύριον, Μάξιμε, παρ᾽ οὗ καὶ ἔλαβες, Πάτερ, ἄφθαρτον στέφανον.

Καὶ νῦν. Θεοτοκίον.

**Σ**ὲ μέσον σωτηρίας, πανάχραντε Παρθένε, Χριστιανῶν προβαλλόμεθα πάντοτε˙ ταῖς τοῦ Μαξίμου λιταῖς, σὺ ἡμᾶς διάσωσον.

***Καὶ θυμιᾷ ὁ Ἱερεύς, ἐνῷ ἡμεῖς ψάλλομεν τὸ Ἄξιόν ἐστι, καὶ τὰ παρόντα,***

Μεγαλυνάρια.

**Ὅ**σιον τὸν Μάξιμον εὐφημῶ, τὸν καὶ ἠπειρώτην, καὶ τοῦ Ἄθωνος πολιστήν, τὸν ἐν τῇ Ῥωσίᾳ, ὑπὲρ τῆς εὐσεβείας, καὶ τῆς Ὀρθοδοξίας, ἀγωνισάμενον.

**Ἄ**ρτης τὸν φωστῆρα ὑμνολογῶ, Μάξιμον τὸν θεῖον, τῆς φρονήσεως ὁδηγόν, καὶ τῆς ἐγκρατείας, ἅμα καὶ εὐπρεπείας, θεόπνευστον δοχεῖον, καὶ τεῖχος ἄσειστον.

**Σ**τήλη σωφροσύνης, ὑπομονῆς, Μάξιμε, ἐδείχθης, ἐν Ῥωσίᾳ πρωταθλητής, τῆς Ὀρθοδοξίας ὁ μέγας πρωτοστάτης, τῶν Ὁμολογητῶν τε ὁ ἰσοστάσιος.

**Δ**εῦτε ἠπειρῶται οἱ εὐσεβεῖς, Μάξιμον ἐξ Ἄρτης, ἑορτάσωμεν ἱερῶς, τοῦ Σωτῆρος μύστην, ἡμῶν τὸν ποδηγέτην, φωστῆρα τῆς Ἑλλάδος, πάντων διάσωσμα.

Καὶ τοῦ Ὁμολογητοῦ Ἁγίου Μαξίμου.

**Τ**ῆς Ὀρθοδοξίας μυσταγωγός, Μάξιμε, ἐδείχθης, καὶ ὑπέρμαχος καὶ φρουρός˙ διὸ κατετμήθης, τὴν χεῖρα καὶ τὴν γλῶτταν, καὶ σὲ ἀνευφημοῦμεν, μακαριώτατε.

**Χ**αίροις θεοῤῥῆμον μυσταγωγέ, στῦλε εὐσεβείας, ἀποῤῥήτων διερμηνεῦ˙ χαίροις Μοναζόντων, μέγας αἰθεροδρόμος, Μάξιμε τοῦ Κυρίου, χαίροις ὁ πρόμαχος.

**Π**ᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι πάντες, μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν, εἰς τὸ σωθῆναι ἡμᾶς.

*Εἶτα τὸ Τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν, Ὁ Ἱερεύς, Ὅτι σοῦ ἐστιν, καὶ εὐθὺς ἡμεῖς ψάλλομεν τὸ,*

## Ἀπολυτίκιον.

### Ἦχος α'. Τῆς ἐρήμου πολίτης.

**Τ**ῆς Ἠπείρου τὸ κλέος καὶ τῆς Ἄρτης τὸ καύχημα, τῆς Ὀρθοδοξίας ἐγένου ὁδηγὸς φαεινότατος. Τιμῶντες οὖν τὴν μνήμην σου σεμνῶς, ὦ Μάξιμε, γεραίρομεν πιστῶς, τοὺς ἀγῶνας σου, τὰς νίκας καὶ τὰ δεσμά, πρὸς τήρησιν τῆς Πίστεως. Δόξα τῷ σὲ δοξάσαντι Χριστῷ· δόξα τῷ σὲ ἀναδείξαντι, διάπυρον προασπιστήν, τοῦ πατρῴου δόγματος.

***Ὁ Ἱερεύς μνημονεύει ὡς δεδήλωται, καὶ μετὰ τὸ Ἐπάκουσον ἡμῶν ὁ Θεός, ποιεῖ τὴν Ἀπόλυσιν, μεθ' ὅ ψάλλομεν τὸ παρὸν τροπάριον,***

### Ἦχος β'. Ὅτε, ἐκ τοῦ ξύλου.

Χαίροις, τῶν Ἀρταίων ὁ ἀνθός, πάσης τῆς Ἠπείρου τὸ κλέος, καὶ φωτιστὴς παμφαής, Ἄθω καὶ Ῥωσίας γῆς, Μάξιμε ὅσιε, ταπεινώσεως ἔσοπτρον, χαρίτων ἐνθέων, πύργος ὁ ἀκλόνητος, τῶν Ὀρθοδόξων φωστήρ. Σὲ νῦν δυσωποῦμεν, παμμάκαρ, τῆς θεολαμποῦς εὐσεβείας, πάντας τοῦς τιμῶντάς σε ἀξίωσον.

***Εἶτα ὁ Ἱερεύς, Δι' εὐχῶν...***